Καὶ οἱ μὲν οἰκέται σχεδὸν ἅπαντες, οἳ κατὰ τὴν Ῥώμην ἦσαν, ἑκάστης ὡς εἰπεῖν ἡμέρας ἀναχωροῦντες τῆς πόλεως ἀνεμίγνυντο τοῖς βαρβάροις, εἰς τεσσάρων που μυριάδων πλῆθος συνειλεγμένοις· ἀλώμενοι δέ τινες τῶν βαρβάρων τοῖς ἐπὶ τὸν λιμένα κατιοῦσι <καὶ> ἀνακομίζουσί τι τῶν ἐπιτηδείων ἐπῄεσαν, ὅπερ μαθὼν Ἀλάριχος ὡς μὴ κατὰ γνώμην αὐτοῦ γινόμενον ἐκκόπτειν ἐσπούδαζε· δοκούσης δὲ εἶναι τῶν κακῶν μετρίας ἀνακωχῆς, ἐν μὲν τῇ Ῥαβέννῃ πρόεισιν ὁ βασιλεὺς Ὁνώριος ὕπατος, ὀκτάκις ἤδη τῆς τιμῆς ταύτης τυχών, κατὰ δῷ τὴν ἑῴαν Θεοδόσιος τὸ τρίτον ὁ βασιλεύς.